KLEINE TEXTE FÜR THEOLOGISCHE VORLESUNGEN
UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN
9

BQ
1758
.A5

PTOLEMAEUS

BRIEF AN DIE FLORA

HERAUSGEGEBEN

VON

ADOLF HARNACK

ZWEITE AUFLAGE

PREIS 0.30 M.

BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1912

LMS

Digitized by the Internet Archive
in 2011 with funding from
University of Toronto

http://www.archive.org/details/ptolomaeusbriefu00ptol

KLEINE TEXTE FÜR THEOLOGISCHE VORLESUNGEN
UND ÜBUNGEN

HERAUSGEGEBEN VON HANS LIETZMANN

9

PTOLEMAEUS

BRIEF AN DIE FLORA

HERAUSGEGEBEN

VON

ADOLF HARNACK

ZWEITE AUFLAGE

BONN

A. MARCUS UND E. WEBER'S VERLAG

1912

INSTITUTE OF MEDIAEVAL STUDIES
ST. MICHAEL'S COLLEGE
TORONTO

Nachstehender brief (antwortschreiben?) des Gnostikers Ptolemäus (Valentin-schule, Italischer zweig?) ist vor dem J. 150 verfasst, wenn der verfasser identisch ist mit dem römischen lehrer und märtyrer Ptolemäus, von dem Justin (Apol. II, 2) berichtet; aber die identifikation (s. Texte u. Untersuch. Bd. 25 H. 2, 1905) kann nicht zur evidenz gebracht werden, wenn sie auch wahrscheinlich ist. Sieht man von dieser hypothese ab, so kann man mit dem brief bis gegen 170 heruntergehen. Ein noch späterer ansatz empfiehlt sich nicht; denn schon Irenäus (Buch I) hat es nicht mehr mit Ptolemäus selbst, sondern mit seinen schülern zu tun. Die adressatin, bei der der verfasser viel nachdenken voraussetzt, ist uns unbekannt. Die erhaltung des schreibens verdanken wir dem Epiphanius (Panarion, haer. 33, 3—7), wissen aber nicht, wie er zu ihm gelangt ist. Der brief ist besonders geeignet, herrschende vorurtheile über das wesen und die absichten des christlichen „Gnosticismus" zu berichtigen, die stellung, welche die religiöse metaphysik (äonenlehre) in den gnostischen systemen hatte, zu bestimmen, das ernste bibelstudium der Valentinianer und ihren bibelkanon kennen zu lernen, den lehrgang des Ptolemäus in seiner schule festzustellen und seine religionsgeschichtlichen versuche zu würdigen. Innerhalb der geschichte des verständnisses des alten testaments nimmt dieser brief eine hohe stelle ein; denn er zeigt, wie weit man in der beurtheilung desselben durch eine rein religiöse kritik zu gelangen vermochte. Besonderes interesse bietet es, zu untersuchen, wie sich die stellung der altkatholischen väter zum A. T. zur stellung des Ptolemäus verhält und ob sie nicht von ihm gelernt haben. Endlich tritt in dem schreiben aufs kräftigste die zentrale bedeutung Jesu und seines wortes in der glaubenslehre dieser Valentinianer hervor; auch hier sieht man sich zu vergleichungen mit der altkatholischen theologie aufgefordert. Vgl. STIEREN, de Ptolemaei Valentiniani ad Floram epist. part. I, 1843; HEINRICI, die valent. Gnosis und die h. schrift. 1871; HILGENFELD, Ketzergesch. 1884, s. 346 ff.; HARNACK, der Brief des Ptol. an die Flora, Sitzungsber. d. K. Preuss. Akad. d. Wiss. 1902, 15 mai. Der letztgenannten abhandlung, die einen kommentar zu dem briefe enthält (s. auch Harnack, Geschichte eines programmatischen Worts Jesu [Matth. 5, 17] in der ältesten Kirche, Sitzungsber. 1912, 15. Febr.), ist der hier abgedruckte text entnommen. An handschriften sind benutzt ein Genuensis (G) s. IX/X und eine Breslauer hs. (R) s. XIV, beide von HOLL verglichen.

A. H.

MAY 6 - 1935
8490

ΠΤΟΛΕΜΑΙΟΥ ΠΡΟΣ ΦΛΩΡΑΝ

I Τὸν διὰ Μωυσέως τεθέντα νόμον, ἀδελφή μου καλὴ Φλώρα, ὅτι εἰκῆ πολλοὶ προκατελάβοντο μήτε τὸν θέμενον αὐτὸν ἐγνωκότες μήτε τὰς προστάξεις αὐτοῦ ἀκριβῶς, ἡγοῦμαι καὶ σοὶ εὐσύνοπτον ἔσεσθαι μαθούσῃ τὰς διαφωνούσας γνώμας περὶ αὐτοῦ. 2 οἱ μὲν γὰρ ὑπὸ τοῦ θεοῦ καὶ πατρὸς νενομοθετῆσθαι τοῦτον λέγουσιν, ἕτεροι δὲ τούτοις τὴν ἐναντίαν ὁδὸν τραπέντες ὑπὸ τοῦ ἀντικειμένου φθοροποιοῦ διαβόλου τεθεῖσθαι τοῦτον ἰσχυρίζονται, ὡς καὶ τὴν τοῦ κόσμου προσάπτουσιν αὐτῷ δημιουργίαν, πατέρα καὶ ποιητὴν τοῦτον λέγοντες εἶναι. 3 τοῦτο δὲ τοῦ παντὸς διέπταισαν οὗτοι, διαδόντες ἀλλήλοις καὶ ἑκάτεροι αὐτῶν διαμαρτόντες παρὰ σφίσιν αὐτοῖς τῆς τοῦ προκειμένου ἀληθείας. 4 οὔτε γὰρ ὑπὸ τοῦ τελείου θεοῦ καὶ πατρὸς φαίνεται τοῦτον τεθεῖσθαι (ἑπόμενον γάρ ἐστιν), ἀτελῆ τε ὄντα καὶ τοῦ ὑφ' ἑτέρου πληρωθῆναι ἐνδεῆ, ἔχοντά τε προστάξεις ἀνοικείας τῇ τοῦ τοιούτου θεοῦ φύσει τε καὶ γνώμῃ. 5 τό τ' αὖ πάλιν τῇ τοῦ ἀντικειμένου ἀδικίᾳ νόμον προσάπτειν ἀδικίαν ἀναιροῦντα, τῶν τὸ ἑξῆς τε μὴ συνορώντων ⟨μήτε⟩ τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα· »οἰκία« γὰρ »ἢ πόλις μερισθεῖσα ἐφ' ἑαυτὴν ὅτι μὴ δύναται στῆναι« ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο. 6 ἔτι τε τὴν τοῦ κόσμου δημιουργίαν ἰδίαν λέγει εἶναι (ἅτε »πάντα δι'

19 Matth. 12, 25 21 f. Joh. 1, 11. 3

2 εἰκῆ] v. Wilamowitz, μὴ GR, ἤδη Hilgenfeld, getilgt von Cornarius τὸν θέμενον αὐτὸν] Hilgenfeld, τὸν θεμέλιον αὐτὸν R, τὸν θεμέλιον αὐτοῦ G 3 αὐτῶν R Das komma ist nach ἀκριβῶς zu setzen, s. 4, 14: ἀκριβῶσαι τὸν νόμον 4 μαθούσης R 6 τοῦτον] τούτοις GR 11 διαδόντες GR 14 ἑπόμενον] Petavius, ἑπόμενος GR, τέλειος Stieren, εἰκονικός Hilgenfeld ὑφ' ἑτέρου] Petavius, σφετέρου GR 16 τό τ'] οὔτ' GR 17 ἀδικίαν ἀναιροῦντα] ἀδικεῖν αἱροῦντος GR τῶν τε ἑξῆς τι GR 18 μήτε om. GR; ich habe den ganzen satz nach der verbesserung von v. Wilamowitz gegeben, die den sinn gewiss richtig trifft 20 τε] v. Wilamowitz, γε GR 21 ἰδίαν] vielleicht θείαν oder ἰδίαν θεοῦ ἅτε] τά τε Petavius

αὐτοῦ γεγονέναι καὶ χωρὶς αὐτοῦ γεγονέναι οὐδέν«) ὁ ἀπόστολος προαποστερήσας τὴν τῶν ψευδηγορούντων ἀνυπόστατον σοφίαν — καὶ οὐ φθοροποιοῦ θεοῦ, ἀλλὰ δικαίου καὶ μισοπονηροῦ· 7 ἀπρονοήτων δέ ἐστιν ἀνθρώπων τῆς προνοίας τοῦ δημιουργοῦ μάτην λαμβανομένων καὶ μὴ μόνον τὸ τῆς ψυχῆς ὄμμα, ἀλλὰ καὶ τὸ τοῦ σώματος πεπηρωμένων. 8 οὗτοι μὲν οὖν ὡς διημαρτήκασι τῆς ἀληθείας, δῆλον σοί ἐστιν ἐκ τῶν εἰρημένων· πεπόνθασι δὲ οὗτοι ἰδίως ἑκάτεροι αὐτῶν, οἱ μὲν διὰ τὸ ἀγνοεῖν τὸν τῆς δικαιοσύνης θεόν, οἱ δὲ διὰ τὸ ἀγνοεῖν τὸν τῶν ὅλων πατέρα, ὃν μόνος ἐλθὼν ὁ μόνος εἰδὼς ἐφανέρωσε. 9 περιλείπεται δὲ ἡμῖν ἀξιωθεῖσι τε τῆς ἀμφοτέρων τούτων . . . ἐκφῆναί σοι καὶ ἀκριβῶσαι αὐτόν τε τὸν νόμον, ποταπός τις εἴη, παὶ τὸν ὑφ' οὗ τέθειται, τὸν νομοθέτην, ⟨τῶν⟩ ῥηθησομένων ἡμῖν τὰς ἀποδείξεις ἐκ τῶν τοῦ σωτῆρος ἡμῶν λόγων παριστῶντες, δι' ὧν μόνον ἔστιν ἀπταίστως ἐπὶ τὴν κατάληψιν τῶν ὄντων ὁδηγεῖσθαι.

II Πρῶτον οὖν μαθητέον ὅτι ὁ σύμπας ἐκεῖνος νόμος ὁ ἐμπεριεχόμενος τῇ Μωυσέως πεντατεύχῳ οὐ πρὸς ἑνός τινος νενομοθέτηται, λέγω δὴ οὐχ ὑπὸ μόνου θεοῦ, ἀλλ' εἰσί τινες αὐτοῦ προστάξεις καὶ ὑπ' ἀνθρώπων τεθεῖσαι, καὶ τριχῇ τοῦτον διαιρεῖσθαι οἱ τοῦ σωτῆρος λόγοι διδάσκουσιν ἡμᾶς. 2 εἷς τε γὰρ αὐτὸν τὸν θεὸν καὶ τὴν τούτου νομοθεσίαν ⟨διαιρεῖται⟩, διαιρεῖται δὲ καὶ εἰς τὸν Μωυσέα (οὐ καθὰ αὐτὸς δι' αὐτοῦ νομοθετεῖ ὁ θεός, ἀλλὰ καθὰ ἀπὸ τῆς ἰδίας ἐννοίας ὁρμώμενος καὶ ὁ Μωυσῆς ἐνομοθέτησέ τινα), καὶ εἰς τοὺς πρεσβυτέρους τοῦ λαοῦ διαιρεῖται, ⟨οἳ⟩ καὶ πρῶτοι εὑρίσκονται ἐντολάς τινας ἐνθέντες ἰδίας. 3 πῶς οὖν τοῦτο οὕτως ἔχον ἐκ τῶν τοῦ σωτῆρος δείκνυται λόγων, μάθοις ἂν ἤδη. 4 διαλεγόμενός που ὁ σωτὴρ πρὸς τοὺς περὶ τοῦ ἀποστασίου συζητοῦντας αὐτῷ, ὃ δὴ ἀποστάσιον ἐξεῖναι νενομοθέτητο, ἔφη αὐτοῖς ὅτι »Μωυσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψε

10 Vgl. Joh. 1, 18; Matth. 11, 27 18 m. w. die älteste stelle für „Pentateuch" 31 Matth. 19, 6 f.

2 προσαποστερήσας Hilgenfeld 5 μάτην Harnack, μὴ αἰτίαν GR, μυωπίᾳ Hilgenfeld 6 πεπληρωμένων R 8 ἑκάτερος GR 11 τε τῆς GR, γε τῆς Dindorf, τὰ τῆς Hilgenfeld 12 Die lücke ist nicht bereits durch γνώσεως (Petavius) ausgefüllt 14 τῶν ῥηθησομένων Dindorf (τῶν om GR) 15 μόνον GR, μόνων Hilgenfeld 20 αὐτῶν GR 22 διαιρεῖται [1] hat Oehler zugesetzt 23 οὐ καθὰ αὐτὸς δι' αὐτοῦ] Petavius, οὐ καθ' αὑτὸ δι' αὐτοῦ GR, οὐ καθὰ δι' αὐτοῦ Dindorf [Venetus?] 26 οἳ καὶ] καὶ GR, οἳ Cornarius 28 μάθοις] Petavius, μάθοις δ' GR

τὸ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ· ἀπ' ἀρχῆς γὰρ οὐ γέγονεν οὕτως. θεὸς γάρ, φησί, συνέζευξε ταύτην τὴν συζυγίαν, καὶ ὃ συνέζευξεν ὁ κύριος, ἄνθρωπος, ἔφη, μὴ χωριζέτω«. 5 ἐνταῦθα ἕτερον μὲν τοῦ θεοῦ δείκνυσι νόμον τὸν κωλύοντα χωρίζεσθαι γυναῖκα ἀπὸ ἀνδρὸς αὐτῆς, ἕτερον δὲ τὸν τοῦ Μωυσέως τὸν διὰ τὴν σκληροκαρδίαν ἐπιτρέποντα χωρίζεσθαι τοῦτο τὸ ζεῦγος. 6 καὶ δὴ κατὰ τοῦτο ἐναντία τῷ θεῷ νομοθετεῖ ὁ Μωυσῆς· ἐναντίον γάρ ἐστι ⟨τὸ διαζευγνύναι⟩ τῷ μὴ διαζευγνύναι. 7 ἐὰν μέντοι καὶ τὴν τοῦ Μωυσέως γνώμην, καθ' ἣν τοῦτο ἐνομοθέτησεν, ἐξετάσωμεν, εὑρεθήσεται τοῦτο οὐ κατὰ προαίρεσιν ποιήσας τὴν ἑαυτοῦ, ἀλλὰ κατὰ ἀνάγκην διὰ τὴν τῶν νενομοθετημένων ἀσθένειαν. 8 ἐπεὶ γὰρ τὴν τοῦ θεοῦ γνώμην φυλάττειν οὐκ ἠδύναντο οὗτοι ἐν τῷ μὴ ἐξεῖναι αὐτοῖς ἐκβάλλειν τὰς γυναῖκας αὐτῶν, αἷς τινες αὐτῶν ἀηδῶς συνῴκουν, καὶ ἐκινδύνευον ἐκ τούτου ἐκτρέπεσθαι πλέον εἰς ἀδικίαν καὶ ἐκ ταύτης εἰς ἀπώλειαν, τὸ ἀηδὲς τοῦτο βουλόμενος ἐκκόψαι αὐτῶν ὁ Μωυσῆς, δι' οὗ καὶ ἀπόλλυσθαι ἐκινδύνευον, δεύτερόν τινα, ὡς κατὰ περίστασιν ἧττον κακὸν ἀντὶ μείζονος ἀντικαταλλασσόμενος, τὸν τοῦ ἀποστασίου νόμον ἀφ' ἑαυτοῦ ἐνομοθέτησεν αὐτοῖς, ἵνα, ἐὰν ἐκεῖνον μὴ δύνωνται φυλάσσειν, κἂν τοῦτόν γε φυλάξωσι καὶ μὴ εἰς ἀδικίας καὶ κακίας ἐκτραπῶσι, δι' ὧν ἀπώλεια αὐτοῖς ἔμελλε τελειοτάτη ἐπακολουθήσειν. 9 αὕτη μὲν ἡ τούτου γνώμη, καθ' ἣν ἀντινομοθετῶν εὑρίσκεται τῷ θεῷ· πλὴν ὅτι γε Μωυσέως αὐτοῦ δείκνυται ἐνταῦθα ἕτερος ὢν παρὰ τὸν τοῦ θεοῦ νόμον, ἀναμφισβήτητόν ἐστι, κἂν δι' ἑνὸς τὰ νῦν ὦμεν δεδειχότες. 10 ὅτι δὲ καὶ τῶν πρεσβυτέρων εἰσί τινες συμπεπλεγμέναι παραδόσεις ἐν τῷ νόμῳ, δηλοῖ καὶ τοῦτο ὁ σωτήρ. »ὁ γὰρ θεός«, φησίν, »εἶπε· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. ὑμεῖς δέ«, φησίν, »εἰρήκατε — τοῖς πρεσβυτέροις λέγων — δῶρον τῷ θεῷ, ὃ ἂν ὠφεληθῇς ἐξ ἐμοῦ, καὶ ἠκυρώσατε τὸν νόμον τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν, τῶν πρεσβυτέρων. 11 τοῦτο δὲ Ἡσαΐας ἐξεφώνησεν εἰπών· ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με διδάσκοντες διδασκαλίας,

28 Matth. 15, 3 ff. 33 Matth. 15, 7 ff. (= Jes. 29, 13)

1 αὐτοῦ nach Matth. 19, 3 3 ἔφη hinter χωριζέτω R 5 τοῦ ἀνδρὸς R 8 τὸ διαζευγνύναι hat Hilgenfeld zugesetzt 11 ποιήσας om R 14 αἷς τινες] Petavius, αἵτινες GR 25 vielleicht ist ὁ νόμος nach ὧν ausgefallen 32 f. πρεσβυτέρων ὑμῶν R

BQ
1758
.A5

ἐντάλματα ἀνθρώπων«. 12 σαφῶς οὖν ἐκ τούτων εἰς τρία διαιρούμενος ὁ σύμπας ἐκεῖνος δείκνυται νόμος· Μωυσέως τε γὰρ αὐτοῦ καὶ τῶν πρεσβυτέρων καὶ αὐτοῦ τοῦ θεοῦ εὑρομεν νομοθεσίαν ἐν αὐτῷ. αὕτη μὲν οὖν ἡ διαίρεσις τοῦ σύμπαντος ἐκείνου νόμου ὧδε ἡμῖν διαιρεθεῖσα τὸ ἐν αὐτῷ ἀληθὲς ἀναπέφαγκεν.

III Πάλιν δὲ δὴ τὸ ἓν μέρος, ὁ αὐτοῦ τοῦ θεοῦ νόμος, διαιρεῖται εἰς τρία τινά, εἴς τε τὴν καθαρὰν νομοθεσίαν τὴν ἀσύμπλοκον τῷ κακῷ, ὃς καὶ κυρίως νόμος λέγεται, ὃν »οὐκ ἦλθε καταλῦσαι ὁ σωτὴρ ἀλλὰ πληρῶσαι« — οὐ γὰρ ἦν ἀλλότριος αὐτοῦ ὃν ἐπλήρωσεν, οὐ γὰρ εἶχεν τὸ τέλειον — καὶ εἰς τὸ συμπεπλεγμένον τῷ χείρονι καὶ τῇ ἀδικίᾳ, ὃν ἀνεῖλεν ὁ σωτὴρ ἀνοίκειον ὄντα τῇ ἑαυτοῦ φύσει. διαιρεῖται δὲ καὶ εἰς τὸ τυπικὸν καὶ συμβολικόν, τὸ κατ᾽ εἰκόνα τῶν ⟨πνευματικῶν καὶ⟩ διαφερόντων νομοθετηθέν· ὃ μετέθηκεν ὁ σωτὴρ ἀπὸ αἰσθητοῦ καὶ φαινομένου ἐπὶ τὸ πνευματικὸν καὶ ἀόρατον. 2 καὶ ἔστι μὲν ὁ τοῦ θεοῦ νόμος, ὁ καθαρὸς καὶ ἀσύμπλοκος τῷ χείρονι, αὐτὴ ἡ δεκάλογος, οἱ δέκα λόγοι ἐκεῖνοι οἱ ἐν ταῖς δυσὶ πλαξὶ δεδιχασμένοι εἴς τε ἀναίρεσιν τῶν ἀφεκτέων καὶ εἰς πρόσταξιν τῶν ποιητέων, οἳ καίπερ καθαρὰν ἔχοντες τὴν νομοθεσίαν, μὴ ἔχοντες δὲ τὸ τέλειον, ἐδέοντο τῆς παρὰ τοῦ σωτῆρος πληρώσεως. 3 ὁ δέ ἐστι συμπεπλεγμένος τῇ ἀδικίᾳ, οὗτος ὁ κατὰ τὴν ἄμυναν καὶ ἀνταπόδοσιν τῶν προαδικησάντων κείμενος, »ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτεσθαι« κελεύων »καὶ φόνον ἀντὶ φόνου ἀμύνασθαι«. 4 οὐδὲν γὰρ ἧττον καὶ ὁ δεύτερος ἀδικῶν ἀδικεῖ, τῇ τάξει μόνον διαλλάσσων, τὸ αὐτὸ ἐργαζόμενος ἔργον. 5 τοῦτο δὲ τὸ πρόσταγμα δίκαιον μὲν ἄλλως καὶ ἦν καὶ ἔστι διὰ τὴν ἀσθένειαν τῶν νομοθετηθέντων ἐν παρεκβάσει τοῦ καθαροῦ νόμου τεθέν, ἀνοίκειον δὲ τῇ τοῦ πατρὸς τῶν ὅλων φύσει τε καὶ ἀγαθότητι, ἴσως δὲ τοῦτο κατάλληλον, ἐπάναγκες δὲ μᾶλλον. 6 ὁ γὰρ καὶ τὸν ἕνα φόνον οὐ βουλόμενος ἔσεσθαι ἐν τῷ λέγειν· »οὐ φονεύσεις«, προστάξας

9 f. Matth. 5, 17 18 Exod. 20 24 Levit. 24, 20 33 Exod. 20, 13

2 τε om R 11 vielleicht οὐκ εἶχε δὲ 12 τὸ GR, τὸν Dindorf Hilgenfeld ἀδικίαν R ὃν [ergänze νόμον] Petavius, ἣν G, ἣν ἂν R 14 f. πνευματικῶν καὶ] Petavius, κατ᾽ εἰκόνα wiederholen GR 19 f. ἀφεκτέων] Petavius, ἀφθέγκτων G, ἀφθέκτων R 28 δὲ τὸ G, δὲ R 31 τοῦτο] vielleicht besser τούτῳ

τὸν φονέα ἀντιφονεύεσθαι, δεύτερον νόμον νομοθετῶν καὶ δυσὶ φόνοις βραβεύων ὁ τὸν ἕνα ἀπαγορεύσας ἔλαθεν ἑαυτὸν ὑπ' ἀνάγκης κλαπείς. 7 διὸ δὴ ὁ ἀπ' ἐκείνου παραγενόμενος υἱὸς τοῦτο τὸ μέρος τοῦ νόμου ἀνῄρηκεν, ὁμολογήσας καὶ αὐτὸς εἶναι τοῦ θεοῦ. 8 ἔν τε τοῖς ἄλλοις καταριθμεῖται τῇ παλαιᾷ αἱρέσει καὶ ἐν οἷς ἔφη ὁ θεὸς εἰπών· »ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω«. 9 τὸ δέ ἐστι μέρος αὐτοῦ τυπικόν, τὸ κατ' εἰκόνα τῶν πνευματικῶν καὶ διαφερόντων κείμενον, τὰ ἐν προσφοραῖς λέγω καὶ περιτομῇ καὶ σαββάτῳ καὶ νηστείᾳ καὶ πάσχα καὶ ἀζύμοις καὶ τοῖς τοιούτοις νομοθετηθέντα· πάντα γὰρ ταῦτα εἰκόνες καὶ σύμβολα ὄντα, τῆς ἀληθείας φανερωθείσης, μετετέθη. 10 κατὰ μὲν τὸ φαινόμενον καὶ σωματικῶς ἐκτελεῖσθαι ἀνῄρηται, κατὰ δὲ τὸ πνευματικὸν ἀνελήφθη, τῶν μὲν ὀνομάτων τῶν αὐτῶν μενόντων, ἐνηλλαγμένων δὲ τῶν πραγμάτων. 11 καὶ γὰρ προσφορὰς προσφέρειν προσέταξεν ἡμῖν ὁ σωτήρ, ἀλλὰ οὐχὶ τὰς δι' ἀλόγων ζώων ἢ τούτων τῶν θυμιαμάτων, ἀλλὰ διὰ πνευματικῶν αἴνων καὶ δοξῶν καὶ εὐχαριστίας καὶ διὰ τῆς εἰς τοὺς πλησίον κοινωνίας καὶ εὐποιίας. 12 καὶ περιτομὴν περιτετμῆσθαι ἡμᾶς βούλεται, ἀλλ' οὐχὶ τῆς ἀκροβυστίας τῆς σωματικῆς, ἀλλὰ καρδίας τῆς πνευματικῆς. 13 καὶ τὸ σάββατον φυλάσσειν· ἀργεῖν γὰρ θέλει ἡμᾶς ἀπὸ τῶν ἔργων τῶν πονηρῶν· καὶ νηστεύειν δέ, ἀλλ' οὐχὶ τὴν σωματικὴν βούλεται νηστείαν ἡμᾶς νηστεύειν, ἀλλὰ τὴν πνευματικήν, ἐν ᾗ ἐστιν ἀποχὴ πάντων τῶν φαύλων. 14 φυλάσσεται μέντοι γε καὶ παρὰ τοῖς ἡμετέροις ἡ κατὰ τὸ φαινόμενον νηστεία, ἐπεὶ καὶ ψυχῇ τι συμβάλλεσθαι δύναται αὕτη μετὰ λόγου γινομένη, ὁπότε μήτε διὰ τὴν πρός τινας μίμησιν γίνεται, μήτε διὰ τὸ ἔθος, μήτε διὰ τὴν ἡμέραν, ὡς ὡρισμένης ⟨εἰς⟩ τοῦτο ἡμέρας, ἅμα δὲ καὶ εἰς ἀνάμνησιν τῆς ἀληθινῆς νηστείας, ἵνα οἱ μηδέπω ἐκείνην δυνάμενοι νηστεύειν ἀπὸ τῆς κατὰ τὸ φαινόμενον νηστείας ἔχωσι τὴν ἀνάμνησιν αὐτῆς. 15 καὶ τὸ πάσχα δὲ ὁμοίως καὶ τὰ ἄζυμα ὅτι εἰκόνες ἦσαν, δηλοῖ καὶ Παῦλος

4 Matth. 5, 38 f. 6 Levit 20, 9

1 νόμον] φόνον? δυσὶ φόνοις] δύο φόνους? 5 αὐτὸν will Hilgenfeld, vielleicht αὐτὸ Der ganze 8. vers sieht wie eine interpolation aus 8 f. διαφερόντως GR 9 τὸ ἐν GR 17 τούτων τῶν befremdet, man erwartet ein adjectiv wie κοσμικῶν 24 ἡμᾶς νηστείαν R τὴν vor πνευματικὴν om R 28 ὁπότε μήτε Dindorf, ὁπότε μηδὲ GR 29 εἰς τοῦτο] Petavius, τοῦτο GR

ὁ ἀπόστολος, »τὸ δὲ πάσχα ἡμῶν«, λέγων, »ἐτύθη Χριστός·« καὶ »ἵνα ἦτε«, φησίν, »ἄζυμοι — μὴ μετέχοντες ζύμης, ζύμην δὲ νῦν τὴν κακίαν λέγει —, ἀλλ' ἦτε νέον φύραμα«.

IV Οὕτως γοῦν καὶ αὐτὸς ὁ τοῦ θεοῦ εἶναι νόμος ὁμολογούμενος εἰς τρία διαιρεῖται· εἵς τε τὸ πληρούμενον ἀπὸ τοῦ σωτῆρος· τὸ γάρ· »οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐκ ἐπιορκήσεις ἐν τῷ μηδ' ὀργισθῆναι μηδὲ ἐπιθυμῆσαι μηδὲ ὀμόσαι« περιείληπται. 2 διαιρεῖται δὲ καὶ εἰς τὸ ἀναιρούμενον τελείως· τὸ γὰρ·» ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος«, συμπεπλεγμένον τῇ ἀδικίᾳ καὶ αὐτὸ ἔργον ἀδικίας ἔχον, ἀνηρέθη ὑπὸ τοῦ σωτῆρος διὰ τῶν ἐναντίων (τὰ δὲ ἐναντία ἀλλήλων ἐστὶν ἀναιρετικά)· »ἐγὼ γὰρ λέγω ὑμῖν μὴ ἀντιστῆναι ὅλως τῷ πονηρῷ, ἀλλ' ἐάν τις σε ῥαπίσῃ, στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα«. 3 ἀλληγορεῖται δὲ καὶ εἰς τὸ μετατεθὲν καὶ ἐναλλαγὲν ἀπὸ τοῦ σωματικοῦ ἐπὶ τὸ πνευματικὸν τὸ συμβολικὸν τοῦτο, ⟨τὸ⟩ κατ' εἰκόνα τῶν διαφερόντων νενομοθετημένον. 4 αἱ γὰρ εἰκόνες καὶ τὰ σύμβολα παραστατικὰ ὄντα ἑτέρων πραγμάτων καλῶς ἐγίνοντο, μέχρι μὴ παρῇν ἡ ἀλήθεια· παρούσης δὲ τῆς ἀληθείας τὰ τῆς ἀληθείας δεῖ ποιεῖν, οὐ τὰ τῆς εἰκόνος. 5 ταῦτα δὲ καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ ὁ ἀπόστολος ἔδειξε, τὸ μὲν τῶν εἰκόνων, ὡς ἤδη εἴπομεν, διὰ »τοῦ πάσχα καὶ τῶν ἀζύμων« δείξας δι' ἡμᾶς, τὸ δὲ τοῦ συμπεπλεγμένου νόμου τῇ ἀδικίᾳ εἰπὼν »τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργῆσθαι«, τὸ δὲ τοῦ ἀσυμπλόκου τῷ χείρονι, »ὁ μὲν νόμος«, εἰπών, »ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή«.

V Ὡς μὲν οὖν συντόμως ἔστιν εἰπεῖν, αὐτάρκως οἶμαί σοι δεδεῖχθαι καὶ τὴν ἐξ ἀνθρώπων παρεισδύσασαν νομοθεσίαν καὶ αὐτὸν τὸν τοῦ θεοῦ νόμον τριχῇ διαιρούμενον· περιλείπεται δὲ ἡμῖν, τίς ποτέ ἐστιν οὗτος ὁ θεὸς ὁ τὸν νόμον θέμενος. 2 ἀλλὰ καὶ τοῦτο ἡγοῦμαί σοι δεδεῖχθαι ἐπὶ τῶν προειρημένων, εἰ ἐπιμελῶς ἀκήκοας. εἰ γὰρ μήτε ὑπ' αὐτοῦ τοῦ τελείου θεοῦ τέθειται οὗτος, ὡς ἐδιδάξαμεν, μήτε μὴν ὑπὸ

1 I Cor. 5, 7 6 Exod. 20, 13 f; Matth. 5, 22. 28. 34 9 Levit. 24, 20; Matth. 5, 38 12 Matth. 5, 39 22 ff. I Cor. 5, 7; Ephes. 2, 15; Röm. 7, 12 28 Cf. Iud. ep. 4

3 δὲ G, τε R 4 οὕτως Petavius, οὗτος GR 7 μηδὲ ὀμόσαι om R 12 εἰσὶν R 16 τὸ om GR 21 ἀπ. Παῦλος ἔδειξε G, ἀπ. ἔδ. Παυλ. R τὸ μὲν G, τῶν μὲν R 22 δείξας δι' vielleicht διδάξας Lietzmann 30 τίς R, τι G

τοῦ διαβόλου, ὃ μηδὲ θέμιτόν ἐστιν εἰπεῖν, ἕτερός τίς ἐστι παρὰ τούτους οὗτος ὁ θέμενος τὸν νόμον. 3 οὗτος δὲ ὁ δημιουργὸς καὶ ποιητὴς τοῦδε τοῦ παντός ἐστι κόσμου καὶ τῶν ἐν αὐτῷ, ἕτερος ὢν παρὰ τὰς τούτων οὐσίας· μέσος τούτων καθεστὼς ἐνδίκως καὶ τὸ τῆς μεσότητος ὄνομα ἀποφέροιτο ἄν. 4 καὶ εἰ ὁ τέλειος θεὸς ἀγαθός ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν, ὥσπερ καὶ ἔστιν (»ἕνα γὰρ μόνον εἶναι ἀγαθὸν θεὸν τὸν ἑαυτοῦ πατέρα« ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο, ὃν αὐτὸς ἐφανέρωσεν), ἔστι δὲ καὶ ὁ τῆς τοῦ ἀντικειμένου φύσεως κακός τε καὶ πονηρὸς ἐν ἀδικίᾳ χαρακτηριζόμενος· τούτων δὴ οὖν μέσος καθεστὼς καὶ μήτε ἀγαθὸς ὢν μήτε μὴν κακὸς μήτε ἄδικος ἰδίως λεχθείη ἂν δίκαιος, τῆς κατ' αὐτὸν δικαιοσύνης ὢν βραβευτής. 5 καὶ ἔσται μὲν καταδεέστερος τοῦ τελείου θεοῦ καὶ τῆς ἐκείνου δικαιοσύνης ἐλάττων οὗτος ὁ θεός, ἅτε δὴ καὶ γεννητὸς ὢν καὶ οὐκ ἀγέννητος — »εἷς« γάρ ἐστιν ἀγέννητος »ὁ πατήρ, ἐξ οὗ τὰ πάντα«, ἰδίως τῶν πάντων ἠρτημένων ἀπ' αὐτοῦ — μείζων δὲ καὶ κυριώτερος τοῦ ἀντικειμένου γενήσεται καὶ ἑτέρας οὐσίας τε καὶ φύσεως πεφυκὼς παρὰ τὴν ἑκατέρων τούτων οὐσίαν. 6 τοῦ μὲν γὰρ ἀντικειμένου ἐστὶν ἡ οὐσία φθορά τε καὶ σκότος· ὑλικὸς γὰρ οὗτος καὶ πολυσχεδής. 7 τοῦ δὲ πατρὸς τῶν ὅλων, τοῦ ἀγεννήτου, ἡ οὐσία ἐστὶν ἀφθαρσία τε καὶ φῶς αὐτόν, ἁπλοῦν τε καὶ μονοειδές. 8 ἡ δὲ τούτου οὐσία διττὴν μέν τινα δύναμιν προήγαγεν . . . . αὐτὸς δὲ τοῦ κρείττονός ἐστιν εἰκών. 9 μηδέ σε τὰ νῦν τοῦτο θορυβείτω, θέλουσαν μαθεῖν, πῶς ἀπὸ μιᾶς ἀρχῆς τῶν ὅλων, ⟨μιᾶς⟩ οὔσης τε καὶ ὁμολογουμένης ἡμῖν καὶ πεπιστευμένης, τῆς ἀγεννήτου καὶ ἀφθάρτου καὶ ἀγαθῆς, συνέστησαν καὶ αὗται αἱ φύσεις, ἥ τε τῆς φθορᾶς καὶ ἡ τῆς μεσότητος, ἀνομοούσιοι αὖται καθεστῶσαι, τοῦ ἀγαθοῦ φύσιν ἔχοντος τὰ ὅμοια ἑαυτῷ καὶ ὁμοούσια γεννᾶν τε καὶ προφέρειν. 10 μαθήσῃ γάρ, θεοῦ διδόντος, ἐξῆς καὶ τὴν τούτου ἀρχήν τε καὶ γέννησιν, ἀξιου-

7 Matth. 19, 17 16 I Cor. 8, 6

5 μέσος δὲ Dindorf 11 δὴ Hilgenfeld, δὲ GR 12 ἰδίως] ἰδίως τε GR, ἰδίως δὲ Hilgenfeld, 21 πολυσχεδής R, πολυσχιδής G 23 αὐτὸ ὄν GR 24 die lücke (Stieren) ist wohl nicht zufällig entstanden und sie ist schwerlich bereits durch τόν τε διάβολον καὶ τὸν δημιουργόν ausgefüllt αὐτὸς] οὗτος Stieren 26 μιᾶς ² Harnack 27 f. τοῦ ἀγεννήτου R 29 ἡ τῆς μεσότητος G, τῆς μεσ. R ἀνομοούσιαι R 30 ἑαυτοῦ R 32 τούτων will Stieren

μένη τῆς ἀποστολικῆς παραδόσεως, ἣν ἐκ διαδοχῆς καὶ ἡμεῖς παρειλήφαμεν μετὰ καὶ τοῦ κανονίσαι πάντας τοὺς λόγους τῇ τοῦ σωτῆρος ἡμῶν διδασκαλίᾳ.

11 Ταῦτά σοι, ὦ ἀδελφή μου Φλώρα, δι' ὀλίγων εἰρημένα οὐκ ἐφθόνησα καὶ τὸ τῆς συντομίας προέγραψα, ἅμα μὲν τὸ προκείμενον ἀποχρώντως ἐξέφηνα, ἃ καὶ εἰς τὰ ἑξῆς τὰ μέγιστά σοι συμβαλεῖται, ἐάν γε ὡς καλὴ γῆ καὶ ἀγαθὴ γονίμων σπερμάτων τυχοῦσα τὸν δι' αὐτῶν καρπὸν ἀναδείξῃς.

7 Cf. Matth. 13, 8. 9.

2 μετὰ καὶ G, μετὰ R, καὶ τοῦ] καιροῦ Oehler 3 ἡμῶν om R 5 ἐφθόνησα Petavius, ἠτόνησα G R, was vielleicht zu halten ist 6 ἃ] nicht zu ändern

THE INSTITUTE OF MEDIAEVAL STUDIES
ST. MICHAEL'S COLLEGE
LIBRARY

Druck von G. Kreysing in Leipzig.

nack ed)
8490

THE INSTITUTE OF MEDIAEVAL STUDIES
10 ELMSLEY PLACE
TORONTO 5, CANADA.
8490.

76 *Auswahl aus Abraham a. S. Clara* hrsg. v. Prof. Dr. Karl Bertsche. 47 S. 1,— M.

77 *Hippocratis* de aere aquis locis mit der alten lateinischen übersetzung hrsg. v. G. Gundermann. 50 S. 1,20 M.

78 *Rabbinische Wundergeschichten* des neutestamentlichen zeitalters in vokalisiertem text mit sprachlichen und sachlichen anmerkungen von Lic. Paul Fiebig. 28 S. 1,— M.

79 *Antike Wundergeschichten* zum studium der wunder des Neuen Testaments zusammengest. von Lic. Paul Fiebig. 27 S. 0,80 M.

80 *Vergil Aeneis II* mit dem commentar des Servius hrsg. v. Ernst Diehl. 131 S. Brosch. 2,— M., geb. 2,50 M.

81 *Anti-Xenien* in auswahl hrsg. v. Dr. Wolfgang Stammler. 68 S. Brosch. 1,40 M., geb. 1,80 M.

82 *Apollonius Dyscolus* De pronominibus pars generalis edidit Dr. Paulus Maas. 44 S. 1,— M.

83 *Origenes, Eustathius v. Antiochien, Gregor v. Nyssa* über die Hexe von Endor hrsg. v. Erich Klostermann. 70 S. 1,60 M.

84 *Aus einem griechischen Zauberpapyrus* hrsg. und erklärt v. Richard Wünsch. 31 S. 0,70 M.

85 *Die geltenden Papstwahlgesetze* hrsg. v. Friedrich Giese. 56 S. 1,20 M.

86 *Alte Einblattdrucke* hrsg. v. Otto Clemen. 77 S. 1,50 M.

87 *Unterricht der Visitatoren* an die pfarrherrn im kurfürstentum zu Sachsen hrsg. v. Hans Lietzmann. 48 S. 1,— M.

88 *Bugenhagens Braunschweiger Kirchenordnung* hrsg. v. Hans Lietzmann. 152 S. 2,40 M.

89 *Euripides Medea* mit scholien hrsg. v. Ernst Diehl. 116 S. Brosch. 2,60 M., geb. 3,— M.

90 *Die Quellen von Schillers Wilhelm Tell* zusammengestellt von Albert Leitzmann. 47 S. Brosch. 1,20 M., geb. 1,50 M.

91 *Scholastische Texte I:* Zum Gottesbeweis d. Thomas v. Aquin zusammengestellt v. E. Krebs. 64 S. 1,50 M.

92 *Mittelhochdeutsche Novellen I:* Die heidin hrsg. v. L. Pfannmüller. 51 S. 1,20 M.

93 *Schillers Anthologie-Gedichte* kritisch hrsg. v. W. Stammler. 71 S. Brosch. 1,50 M., geb. 1,80 M.

94 *Alte und neue aramäische Papyri* übersetzt und erklärt von W. Staerk. 73 S. 1,— M.

95 *Mittelhochdeutsche Novellen II:* Rittertreue. Schlegel hrsg v. L. Pfannmüller. 63 S. 1,50 M.

96 *Der Franckforter* („eyn deutsch theologia") hrsg. v. W. Uhl. 64 S. 1,60 M.

97 *Diodors Römische Annalen* bis 302 v. Chr. samt dem ineditum vatican hrsg. v. A. B. Drachmann. 72 S. 1,80 M.

98 *Musaios, Hero u. Leondros* m. ausgew. varianten u. scholien hrsg. v. Arthur Ludwich. 54 S. 1,50 M.

99 *Authentische Berichte* über Luthers letzte Lebensstunden hrsg. v. Dr. J. Strieder. 42 S. 1,20 M.

100 *Goethes Römische Elegien* n. d. ältesten Reinschrift hrsg. v. Albert Leitzmann.

101 *Frühneuhochdeutsches Glossar* von Alfred Götze. VIII. 136 S. 3,40 M., geb. 3,80 M.

102 *Die Generalsynodal-Ordnung* hrsg. v. D. Alfred Uckeley. 20 S. 0,50 M.

103 *Die Kirchengemeinde- u. Synodalordnung* f. d. Prov. Preußen, Brandenburg usw. hrsg. v. D. Alfred Uckeley. 36 S. 0,90 M.

Druck von G. Kreysing in Leipzig.